## Προτάσεις ἐπὶ τὸ Η'. Κεφ. ἀνήκουσαι.

### Πρότ. ΡΒ'.

„Οὐδενὸς ἡμῖν ἡ τελειότης ἀκριβῶς ἔχει γιγνώσκεσθαι ϗ μετρεῖσθαι.

### Δεῖξις.

Ἔστι γὰρ ἅπασα τελειότης κειμένη ἢ ἐν τῷ πλήθει τῶν ἰδίων ϗ τῇ τιμιότητι, ἢ τῇ ἑνάδι ϗ τῇ ἁπλότητι, ἢ τῇ πρὸς τὸ τέλος ϗ τὴν ἰδέαν προσφυΐᾳ τε ϗ οἰκειότητι (ὁρ. ξϛ'.). Γένοιτ' ἂν ἄρα τὴν ἐνοῦσαν τινὶ τελειότητα ἀκριβῶς εἰδέναι, τὴν ἐκείνου οὐσίαν πεπληρωμένως γινώσκοντας, τήν τε τῶν προσόντων ἐκείνῳ ἕνωσιν ϗ ἁπλότητα, ϗ τὴν πρὸς τὸ τέλος αὐτοῦ ϗ τὴν ἰδέαν προσφυΐαν τε ϗ οἰκειότητα συνορῶντας. Τὸ δὲ ϗ πάνυ χαλεπόν ἐστι ϗ ἀνέφικτον, ὡς οἱ φιλοσοφοῦντες εἰλικρινῶς διομολογοῦσιν. Ἄρα κτ:.

### Σχόλιον.

Ἐν γένει μὲν οὖν ἴσμεν τὰ ὄντα γεγονέναι κατὰ τὰ ἐν τῷ δημιουργῷ ἀρχέτυπα, ὡς ἐκείνου ἀπαιτεῖ τὸ ἀκροτελὲς τῆς σοφίας τε ϗ δυνάμεως· τὴν γεμὴν παράθεσιν τοῦ ὄντος πρός τε τὴν ἰδέαν καθ' ἣν, ϗ τὸ τέλος δι' ὅ, εἰδέναι οὐκ ἔχομεν. Παρὰ ταῦτα οὐδὲ τοῦτο ἀγνοοῦμεν, ὅτι ὅσα δή ποτε ὑφέστηκε, τὸ πραγματιωδῶς εἶναι κέκτηται, ϗ τὴν φύσει προσήκουσαν αὐτοῖς τελειότητα, ἀλλ' οὐδ' ὅση οἴδαμεν αὐτή, οὐδ' ὁποία ἐναργῶς ϗ πεπληρωμένως. Καὶ καταμετρεῖν δῆθεν δυνάμεθα τὴν ἐν σώμασι μείζονα, ἢ ἐλάσσονα ἔκτασιν, τῶν τε κινήσεων ϗ ποιοτήτων τὴν ἐπίτασιν καὶ τὴν δύναμιν, ἀπολύτως δὲ διακρίνειν ταῦτα οὐκ ἐξισχύομεν. Οὐκ ἀεὶ γὰρ ἡ μείζων ἔκτασις, οὐθ' ἡ κινήσεως τινὸς, ἢ ποιότητος ἐπίτασίς τε ϗ δύναμις, εἰς τελειότητος μοῖραν ὑφ' ἡμῶν τίθεται. Τὸ δ' αὐτὸ ϗ περὶ νόων ὡσαύτως εἰρήσθω. Τὴν δ' ἄγνοιαν ταύτην καὶ μείζονα ἔτι ἀποτελοῦσιν αἱ ποικίλαι τῶν τελειοτήτων ἔννοιαι, ἃς ἔχουσιν ἄνθρωποι, ϗ τὸ ποικίλον τῶν φωνῶν, αἷς ταύτας ἐκφέρειν εἰώθασιν. Ὃ γὰρ παρὰ τούτῳ τὰ πολλὰ τελειότης νομίζεται, παρ' ἐκείνῳ τοὐναντίον ἀτελειότης ἤκουσε. Κἀντεῦθεν ἄρα αἱ περὶ τελειοτήτων, ϗ ἀγαθότητος, ϗ κάλλους, μηδέ ποτε παυσόμεναι παρὰ τοῖς σοφοῖς συζητήσεις.

### Πρότ. ΡΓ'.

„Οὕτω φύσεως ἔχομεν, ὥστε τῶν τελειοτήτων πεπερασμένας μὲν ἀπο-
„καλεῖν, ὧν μείζονας ἐπινοοῦμεν· ἀπείρας δὲ ὧν μείζονας ἐπινοῆσαι οὐκ ἔχο-

„μεν. Διὸ δὴ καὶ τῷ μὲν ἄπειρος δοκεῖ ἡ τελειότης, ἀμβλυτέρῳ τὸν νοῦν πε-„φυκότι, ἡ ἑτέρῳ τῷ εὐφυεστέρῳ δοκοῦσα πεπερασμένη.

## Πρότ. ΡΔ΄.

„Τῶν τελειοτήτων τὰς ἐλάσσονας παραβαλλομένας ταῖς μείζοσιν, ἀτε-„λειότητας ἀποκαλεῖν εἰώθαμεν, καὶ τὸ ἧττον τέλειον πρὸς τὸ τελεώτερον „παραμετρούμενον, ἀτελὲς κατονομάζειν φιλοῦμεν.

## Πρότ. ΡΕ΄.

„Ἐκ τῆς ἐννοίας τῆς ἀτελειότητος ἀποδειχθῆναι οὐκ ἔστιν ἔχειν ἡμᾶς ἔν-„νοιαν τελειότητος τῆς ἀπολύτως ἀπείρου.

### Δεῖξις.

Ὁ γοῦν Καρτέσιος χρησάμενος τῷ λόγῳ ἐν τῇ τρίτῃ μελέτῃ, οὕτως ἐπέβαλεν. Ἡ τοῦ ἀποφατικοῦ ἰδέα ἐστὶν ἐκ τῆς τοῦ θετικοῦ. Ἄρα ἡ τῆς ἀτελειότητος ἐστὶν ἐκ τῆς παριστώσης τὴν τελειότητα. Ἀλλ᾽ ἅπαντα τὰ ἐν τῷδε τῷ παντὶ ἀτελῆ οἶδα. Ἔχω τοιγαροῦν τὴν ἰδέαν τῆς τελειότητος. Ἀλλ᾽ οὐκ ἔστι ταῦτα ἀκόλουθα. Καίτοι γὰρ τὰς ἐλάσσονας τελειότητας ταῖς μείζοσι παρατιθεμένας, ὡς ἀτελεῖς ἔχομεν (Πρ. ΡΔ΄.), ἀλλ᾽ ἐκείνας ἀπείρους ἡγούμεθα τελειότητας, ὧν μείζονας περινοῆσαι οὐκ ἔχομεν (Πρ. ΡΓ΄.). Ἐπεὶ τοίνυν βραχὺς ἡμῶν ὁ νοῦς, τῇ ἀπειρίᾳ περισεμνύνειν οἶδεν, ὧν ἥκιστα ἐξικνεῖται τὰ τελεώτερα. Ἀλλ᾽ οὕτω ποιῶν, ἐκ τῶν μειζόνων μὲν καταμετρεῖ τὰς ἐλάσσονας, ἐκ δὲ τῆς ἀπείρου οὐδαμῶς. Τοιγαροῦν ἐκ τῆς ἐννοίας τῆς ἀτελειότητος οὐκ ὀρθῶς ἐπιφέρεσθαι ἡγούμεθα ἐναστράπτειν ἡμῶν ταῖς διανοίαις τὴν ἰδέαν τῆς ἀπολύτως ἀπείρου τελειότητος.

### Σχόλιον.

Οὐδὲν ἄρα γενναῖον, οὐδ᾽ ὀρθῶς ἔχον προβάλλεται ἡ τῆς Θεοῦ ὑπάρξεως ἀπόδειξις ἡ ὑπὸ Καρτεσίου, τῇ ἐννοίᾳ τῆς τελειότητος, τῆς ἐμφύτως ἡμῖν κατ᾽ ἐκεῖνον ἐναυγαζούσης, ἐποικοδομηθεῖσα, ὥσπερ Οὐέτιος ἐν τῷ ἐλέγχῳ τῆς Καρτεσίου φιλοσοφίας, καὶ Βουδδαῖος περὶ ἀθεϊσμοῦ καὶ δεισιδαιμονίας ἀποδεδείχατον. Τῷ ὄντι δὲ, εἰ μικρὸν προσέσχε τὸν νοῦν ἐκεῖνος, πῶς ἂν οὐκ ἀδύνατον εἴποι, νοῦν φύσει πεπερασμένον θίγειν τοῦ ἀπολύτως ἀπείρου;

## Πρότ. Ρϛ΄.

„Αἱ τῶν ἐνδεχομένων οὐσιῶν τελειότητες, δυνάμει φύσεως, εἰς τὸ μὴ „ὂν τραπῆναι οὐκ ἔχουσι.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Δεῖξις.

Εἰ γὰρ, εἶχον ἂν ϗ αἱ οὐσίαι, αἷς πρόσεισι, δυνάμει φύσεως εἰς τὸ μὴ ὂν τραπῆναι. Τὸ δὲ ἀδύνατον (Πρ. Λ'.). Ἄρα κτ:.

## Πόρισμα.

Τοιγαροῦν οἱ τρόποι, οἱ συνεχῶς γινόμενοι ϗ ἀπογινόμενοι, οὐκ εἰσὶ τελειότητες πραγματιώδεις ϗ φυσικαὶ τῶν οὐσιῶν. Καὶ αἱ μὲν κινητικαὶ δυνάμεις ταῖς οὐσιώδεσι τῶν ὄντων τελειότησι συγκαταλεκτέαι, αἱ δὲ κινήσεις οὐδαμῶς. Καὶ ἀληθὲς μὲν τὴν διανοητικὴν δύναμιν οὐσιώδη εἶναι τῆς λογικῆς ψυχῆς τελειότητα, οὐκέτι δὲ ϗ αἱ κατὰ μέρος διανοήσεις οὐσιώδεις εἰρήσονται.

## Πρότ. ΡΖ'.

„Τὸ ἀπείρως τέλειον ἐστὶ ϗ ἀπείρως ἀγαθὸν ἀπολύτως.

## Δεῖξις.

Ἀγαθὸν ἀπολύτως εἰσὶν αἱ τοῦ ὄντος ἰδιότητες, ϗ αἱ φύσει ἐνοῦσαι αὐτῷ τελειότητες (ὁρ. ξθ'.). Ταυτὸν ἄρα τὸ τέλειον, ϗ τὸ ἀπολύτως ἀγαθόν. Ἄρα τὸ κτ:.

## Πρότ. ΡΗ'.

„Τὸ ἀπολύτως ϗ ἀπείρως ἀγαθὸν ἐστι καθ' ἑαυτὸ μακαριώτατον.

## Δεῖξις.

Ἡ μακαριότης ἐν χαρᾷ ὑπερτελεῖ ϗ ἀτρέπτῳ συμφώνως τοῖς φιλοσοφοῦσι τίθεται. Ἡ δὲ ἐκ τῆς τοῦ ἀγαθοῦ πηγάζει ἀπολαύσεως, ὑπερτελὴς καὶ ἄτρεπτος, ἐξ ὑπερτελοῦς ϗ ἀτρέπτου. Ἀλλὰ τὸ ἀπολύτως ἄπειρον ἀγαθὸν, ἐστὶ ϗ ἄτρεπτον (Πρ. ΙΕ. ϗ ΙΔ'.). Ἑπόμενον ἄρα ϗ τὴν ἐκείνῳ προσήκουσαν χαρὰν πρῶτον ἄπειρον εἶναι, τουτέστιν ἀναύξητον, εἶτα ϗ ἄτρεπτον, μεταβολῆς δηλονότι οἱασοῦν ὑπερτέραν. Ἀκροτάτη δὲ αὕτη μακαριότης. Ἄρα κτ:.

## Πρότ. ΡΘ'.

„Τὸ ἀπολύτως ἀπειράγαθον ἐστι ϗ σχετικῶς τῶν ἀγαθῶν τὸ ἀκρότατον.

## Δεῖξις.

Κατὰ σχέσιν τῶν ἀγαθῶν τὸ ἀκρότατον ἐστὶν, ἀφ' οὗ τὸ ἡμῖν προσῆκον ἀγαθὸν ὡς ἀπ' οὐδενὸς ἄλλου συνέχεται ϗ τελειοῦται (ὁρ. ξθ'.). Δοθέντος τοίνυν τοῦ ἀπολύτως ἀκροτάτου τῶν ἀγαθῶν, δυοῖν θάτερον, ἢ ἀπ' αὐτοῦ ἡμεῖς ἐξηρτήμεθα, ἢ οὐχί. Ἀλλ' εἰ μὲν ἐκεῖνο, ἢ κατὰ πρόβλυσιν οὐσιώδη, ἢ κατὰ δημιουργίαν ἐκ τοῦ μηδενὸς, ἢ ἄλλως μηδαμῶς. Ἀλλ' εἰ μὲν τὸ πρῶτον,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε. Γ. Ζάχος Κ. ΙΩΑΝΝΙΝΑ 2006

ὐκ ἂν ἐκ τῦ ἀγαθῦ ἐκπηγάσειεν, ὅτι μὴ ἀγαθόν. Εἰ δὲ τὸ Β΄., ἢ γῦν τὸ τρίτον, ἐπειδὴ τὸ ἀπειράγαθον ϗ μακαριώτατον (Πρ. ΡΗ΄.), οὐδὲν ἂν εἴη ἐν αὐτῷ αἴτιον, δι' ὃ τὸ χεῖρον ἂν ἡμῖν βέλοιτο, ϗ μὴ τὸ ἄμεινον. Ἐπεὶ ἄρα φύσις τῦ ἀκροτάτυ ἀγαθῦ αὕτη, τὸ μηδὲν πεφυκέναι, ὃ μὴ ἦ ἀγαθὸν τοῖς ἄλλοις ἐμποιεῖν, ἀκόλυθον ὅτι τὸ ἀπειράγαθον ἀπολύτως, ϗ κατὰ χέσιν τῶν ἀγαθῶν ἐςι τὸ ἀκρότατον.

## Σχόλιον.

Συνᾴδυσιν ἐν τύτῳ οἱ πάλαι τοῖς νεωτέροις. Ἰάμβλιχος περὶ τῶν κατ' Αἰγυπτίυς μυςηρίων (1) ἀπελέγχει τὺς δοξάζοντας τῶν θεῶν τὺς μὲν ἀγαθοποιὺς εἶναι, τὺς δὲ κακοποιύς. Ὡσαύτως δὲ ϗ ὁ Πρόκλος εἰς τὴν θεολογίαν τῦ Πλάτωνος (2). Αὕτη δὲ ϗ ἡ τῆς Ἀκαδημίας φωνὴ ὐχ ὅπως, ἀλλὰ ϗ ἁπάντων μικρῦ τῶν ἀρχαιοτέρων φιλοσόφων (3). Διὸ ϗ Χρύσιππος παρὰ Πλυτάρχῳ (περὶ τῶν κατα τὺς Στωϊκ. ἐναντιωμ.) τὸ Εὐριπίδειον ἐκεῖνο λίαν ἐπαινεῖ.

,,Εἰ θεοί τι δρῶσιν αἰσχρὸν, ὐκ εἰσὶ θεοί.

Τύτυ χάριν ϗ περὶ τῦ τῶν κακῶν αἰτίυ πολὺ κεκίνηται ζήτημα παρὰ τοῖς φιλοσοφῦσι, καθὰ Πλύταρχος (4) ϗ Βαίλιος (5) ἐκδιδάσκυσι, περὶ οὗ ἡμῖν ἐν ἄλλοις οἰκειότερον.

## Πρότ. ΡΙ΄.

,,Ἅπαν ὂν φύσει, ἤτοι μεταφυσικῶς ἐςιν ἀληθές.

## Δεῖξις.

Ἀλήθεια φυσικὴ αὐτή ἐςιν ἡ τῦ ὄντος φύσις, ἤτοι ἡ οὐσία ἡ δημιυργηθεῖσα, ἣ τῇ ἀρχετύπῳ νοητῇ οὐσίᾳ συμφώνως ἔχυσα (ὁρ. ο΄.). Ἀλλ' ὅσα δήποτε γέγονεν, ἀκροτάτῃ σοφίᾳ (Πρ. Λϛ΄.), ϗ δυνάμει (Πρ. ΚΘ. Πόρ. Α΄.), ϗ ἐλευθερίᾳ (Πρ. ΛΒ΄.) τῦ αἰωνίυ ὄντος ἐγένετο, ὕτω δὲ ὥςε τῆς αὐτῆς ὔσης βυλήσεως, τὺς αὐτὺς λόγυς τῶν οὐσιῶν διασώζεσθαι, ϗ τὰ συςήματα τὰ αὐτὰ ϗ τὰς τάξεις, συνέχεσθαι, ϗ διακοσμεῖσθαι, ὥσπυ καὶ καθ'

(1) Τμ. Α΄. Κεφ. ΙΗ΄.

(2) Βιβλ. Α΄. Κεφ. ΙΕ΄. ΙΖ΄. ϗ ΙΘ΄.

(3) Ὅρα Οὐέτιον ἐν τοῖς Ἀλνεταvοῖς Βιβλ. Β΄. Κεφ. Β΄. §. ϛ.

(4) Περὶ Ἴσιδος ϗ Ὀσίριδος.

(5) Ἐν τῷ Λεξ. ἄρθ. Μανιχ. Μαρκίων, Ἐπίκυρος, ϗ ἀλλ.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

αὐτὸ μὲν δῆλον, καὶ ἐν οἰκείῳ τόπῳ πλατύτερον ἐκτεθείσεται. Συμφωνεῖ ἄρα τὰ ὄντα πάντα τοῖς αὐτῶν ἀρχετύποις, καὶ οὕτως ἀληθῆ ἐστι μεταφυσικῶς.

## Σχόλιον.

Τὴν Μεταφυσικὴν ταύτην προσειρημένην ἀλήθειαν ἀρνήσαιτ' ἂν ὁ Θεοῦ δυνάμει καὶ προνοίᾳ γεγονέναι τε καὶ διακοσμεῖσθαι τόδε τὸ πᾶν μὴ ἀποδεχόμενος, οἷον εἰπεῖν ἀνὴρ Δημοκρίτειος, ἢ Ἐπικούρειος. Ἀλλ' ἐρεῖ τις τυχὸν, ὅτι διηνεκέσι τροπαῖς τὰ ὄντα ταῦτα ὑπόκειται. Πρὸς ὃ ἀπαντῶσι διακριτέον ἐν τῷ κόσμῳ τὰς ἁπλουστάτας οὐσίας, ἃ τῶν ὄντων ἐστὶν οἱονεὶ πρῶτα στοιχεῖα καὶ σπέρματα, τὰς οὐδεμιᾷ φύσεως δυνάμει (καίτοι οἴκοθεν καὶ ταύτας ὡς ἐνδεχομένας τὸ τρεπτὸν ἐχούσας) τρεπομένας, τῶν συνθέτων οὐσιῶν, τῶν τροπαῖς τῷ ὄντι ἀδιαλείπτοις ὑποκειμένων. Τούτων οὖν (νόμος οὗτος φύσεως καὶ τάξις αἰώνιος) ἄλλαι ἄλλας διαδέχονται, καὶ αἱ μὲν γεννῶνται, αἱ δὲ φθείρονται, τῆς ἐν τῷ παντὶ εὐαρμοστείας καὶ καλλονῆς ἀεὶ σωζομένης. Αἱ δὲ μεταβολαὶ αὗται ἅπασαι γεγραμμέναι εἰσὶν ἐν τῷ ἀρχετύπῳ κόσμῳ, οἷα δὴ καὶ τῶν ἁπλουστάτων ἐκείνων τὸ ἀμετάβλητον. Τί δ' ἄν τις ἀποκρίνασθαι ἔχοι πρὸς τὸ τοῦ Πλάτωνος, τοῦ τὸν μὲν ἀκρότατον Θεὸν οὐδαμῶς, τοὺς δὲ ἐλάσσονας θεοὺς δημιουργούς τε καὶ συνοχέας τοῦ παντὸς ἐκδιδάξαντος (1); Ἢ ὅτι λόγους ὑπὲρ ἥλιον φαίνοντας, τῇ προνοίᾳ τοῦ πρωτίστου καὶ αἰωνίου νοῦ, τὸ πᾶν γεγονέναι καὶ συντηρεῖσθαι ἡμῖν ἀποδεικνύειν, ὡς ἐκ τῶν ἀνωτέρω ἰδεῖν ἔστι. Ἄλλως τε καὶ Πλάτων αὐτὸς τοὺς ἐλάσσονας θεοὺς ἀπὸ τοῦ πρώτου καὶ αἰωνίου εἰληφέναι διδάσκει τὰ παραδείγματα, τούτοις τε ἐν ἐκείνῳ ἐποπτεῦσαι, κἀκείνου νεύματι, καὶ θεσμοῖς, καὶ τάξει ἕκαστα διιθύνειν. Τοῦτο δὲ οὐδὲν διαφέρει τοῦ λέγειν ὑπὸ τοῦ ὑπερτάτου νοῦ τὸν κόσμον γενέσθαι, συνέχεσθαι, διεξάγεσθαι. Τὸ δ' αὐτὸ καὶ περὶ τῶν εἰδῶν ῥητέον, ἃ φέρων Ἀριστοτέλης ταῖς οὐρανίαις σφαίραις ἐπέστησε (2).

## Πρότ. ΡΙΑ'.

„ Παμπλείστων ὄντων ἡ ὕπαρξις ἀσφαλῶς ἡμῖν γινώσκεται.

## Σχόλιον.

Τίς γὰρ ἂν ἀτεχνῶς ἀμφισβητεῖν δύναιτο εἰ αὐτὸς ὑπάρχει; εἰ νοεῖ; εἰ τὰ περὶ αὐτὸν σώματα ὑφέστηκε; καί τινες ἐν αὐτοῖς κινητικαὶ δυνάμεις εἰσίν; Οὐδέποτε δήπου οὐδ' αὐτοὶ οἱ Σκεπτικοὶ εἰς τοσοῦτον ἀνοίας πεπτώκασιν, ὡς

(1) *Ἐν Τιμαίῳ.*

(2) *Ὅρα Βόσσιον ἐν τῇ θεολογ. τῶν Ἐθν. Βιβλ. Α'.*

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ὁ μετελθὼν ἢ τὰ Σέξςυ αὐτῦ εἴσεται. Καὶ οἶδα μὲν ὅτι τῶν Ὑβερνῶν τινες (1) περὶ τὴν τῶν σωμάτων ὕπαρξιν διημφισβητήκασι, ἢ παρὰ τὰς νόας καὶ τὰς ἰδέας ὐδὲν ἕτερον ὑπάρχειν ὑπέθεντο, ἐξ ὧ ἢ Γ δ ε ϊ τ α ι ἤκυσαν, ὓς δὴ καὶ ἐκ τῆς τῦ Μαλεβραγχίυ αἱρέσεως ἐξεῤῥυηκέναι ὑπείληφεν Οὐόλφιος (2) (καὶ γὰρ ὁ Μαλεβράγχιος τὴν σωμάτων ὕπαρξιν ἀναπόδεικτον ἡγήσατο, ἡμᾶς τε ἐν τῷ Θεῷ, ἢ τῇ τῦ Θεῦ Ἰδέᾳ ἢ τῷ φωτὶ ἅπαντα ἐποπτάνειν, ὁπόσα γινώσκομεν). Ἀλλ᾽ οἶδα ἢ ὡς σκυτάλης μᾶλλον, ἢ λόγυ οἱ ταῦτα δοξάζοντες δέονται, ἢ ἴση σχεδὸν ἄνοια ἢ ταῦτα φρονεῖν, καὶ τὺς φρονῦντας σπουδαίως ἀπελέγχειν πειρᾶσθαι.

## Πρότ. ΡΙΒ΄.

„Παμπλείςας τῶν ὄντων σχέσεις πρός τε ἄλληλα, ἢ πρὸς ἡμᾶς, ἢ ὅ„σαι μάλιςα τῷ βίῳ εἰσὶν ἐν χρήσει, ἀσφαλῶς γινώσκομεν.

### Σχόλιον.

Οὕτως ἴσμεν εἶναι τε τὰ ἐκτὸς ἡμῶν, ἢ τὰ μὲν μείζονα, τὰ δὲ ἐλάσσονα· ἢ τὰ μὲν ἐγγυτέρω, τὰ δὲ ἀπωτέρω· ἢ τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον ἀνύσιμα· ἢ τὰ μὲν τελεώτερα, τὰ δ᾽ ἀτελέςερα· ὅπερ ὐδ᾽ αὐτοὶ οἱ Σκεπτικοὶ ἀποφᾶναι ἐτόλμησαν, καίτοι ἐν πολλοῖς ἡμᾶς ἀπατᾶσθαι (ὃ ἢ αὐτοὶ ὁμολογῦμεν ἡδέως) ἀεί ποτε ἀντέβαλλον. Πολλαὶ τοίνυν τῶν ἐν τοῖς ὖσιν ἰδιότητες σχετικῶς ἡμῶν τῇ γνώσει καθυποπίπτυσι. Δώσομεν δὲ ἀπολύτως ἡμῖν ταύτας μὴ ἔχειν καταμετρεῖσθαι, ἅτε δὴ μὴ ἐπ᾽ ἀκριβὲς συνορᾶν δυναμένοις, τίνες τίνων εἰσὶ τιμιώτεραι.

## Πρότ. ΡΙΓ΄.

„Παμπλείςων ἁπλυςέρων τρόπων τὰς οὐσίας γινώσκομεν ἢ περινοῦμεν, „οἷον ἐκτάσεως, κινήσεως, ςερεότητος, σχήματος, ἢ τῶν παραπλησίων.

### Σχόλιον.

Εἰδέ τις ἀντείπῃ, ὡς πλεῖςα ἢ περὶ τῶν τοιύτων τοῖς φιλοσοφῦσι ζητεῖσθαι ἡμῖν προβαλλόμενος, ἀπαντήσομεν, ὡς ἥκιςα μὲν περὶ τῦ τί ἦν εἶναι τῶν τοιύτων τρόπων περιδινεῖται τὰ ζητήματα, ἀλλ᾽ ἢ περὶ αἰτίας ἐκείνων, ἢ γῦν περὶ αἰτιατῦ, ἢ ἑτέρυ τυ τῶν ἐκείνοις συζύγων.

---

(1) Ἐν τοῖς Διαλόγ. τοῖς ἐκδοθεῖσιν ἐν Δυβλίνῳ.

(2) Ἐν τῇ ψυχολογίᾳ τῇ λογικῇ.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘ. ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Πρότ. ΡΙΔ'.

„Ὧν ἴσμεν τὴν ὕπαρξιν (Πρ. ΡΙΑ'.), τέτων καί τινας τῶν ἰδιοτήτων ἀ-
„σφαλῶς γινώσκομεν.

## Σχόλιον.

Τίς γὰρ ἂν σπεδάζων ποτὲ ἀποφήσειεν ἡμᾶς εἰδέναι τὰ σώματα ὅτι ἐκτεταμένα, ὅτι στερεὰ, ὅτι κινητὰ, ὅτι σχηματιστά; τές τε νόας ὅτι πολλοῖς νοερῶς ἐπιβάλλεσι; τές τε ἀνθρώπες ὅτι ἀνίαις τε, καὶ ἡδοναῖς εἰσὶν ὑποκείμενοι; καὶ ἕτερα ὑπὲρ ἀριθμὸν τοιαῦτα; Οὐδὲν δὲ διαφέρει, εἰ τῶν τοιέτων τὰς ἐσιώδεις λόγες, καὶ τὰς φύσεις, ἐ τοσῦτον ἐναργῶς ἴσμεν. Ἅλις γὰρ ἔχει, εἰ τὴν ὕπαρξιν ἀσφαλῶς γινώσκομεν.

## Πρότ. ΡΙΕ'.

„Τὸ μηδὲν ὅλως εἰδέναι διϊσχυρίζεσθαι, ἐδ' αὐτὸ τῦτο δηλονότι, ὅτι ἐ-
„δὲν ἐστὶν εἰδέναι, θάτερον δυοῖν, ἢ παιδιὰ, ἢ μανία.

## Δεῖξις.

Πολλῶν γὰρ ἡ ὕπαρξις ἀσφαλῶς γινώσκεται (Πρ. ΡΙΑ'.), καὶ σχέσεις πλεῖσαι, ὅσαι μάλιστα τῷ βίῳ ἐν χρήσει τυγχάνεσι (Πρ. ΡΙΒ'.), καί τινες τῶν ἁπλεστέρων τρόπων λόγοι ἐσιώδεις (ΡΙΓ'.), καὶ τῶν ὑφεστώτων ἰδιότητες ἐκ ὀλίγαι (Πρ. ΡΙΔ'.). Ἄρα τῶν ὑφεστώτων ἐχ ὅπως τὴν ὕπαρξιν, ἀλλὰ καὶ σχέσεις ὅτι πλείστας, καὶ ἴδια, καὶ τρόπες ἡμῶν ὁ νῦς ἐφικνεῖσθαι πέφυκε. Τὸ ἄρα μηδὲν ἐξεῖναι εἰδέναι, παιδιὰ ἐστὶν ἢ μανία.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006